# SCHOLIA

## IN AGAMEMNONEM.

v. 1. θεοὺς μὲν αἰτῶ] B. εἴςθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστὶ περιόδοι· οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λή. ὧν τελευταῖος·

Μαθοῦσιν αὐδῶ, κοὐ μαθοῦσι λήθομαι.

Μετὰ δὲ τὸν κδ΄, κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

v. 2. φρουρᾶς ἐτείας μῆκος] A. τῶν κατὰ τὸ μῆκος τῆς ἐτείας φρουρᾶς. Γράφεται καὶ μῆκος δ' ἦν κοιμώμενος. Farn. μῆκος ἦν· ἐπί.

κοιμώμενος] B. τὸ κοιμώμενος οὐκ ἐπὶ ὕπνου· πῶς γὰρ ἂν καὶ φρουροῖ καὶ ἄστρα βλέποι ὁ ὑπνῶν; ἀλλ' ἐπὶ ἁπλῆς ἀνακλίσεως, ἵνα ᾖ ὁ φύλαξ οὗτος κοιμώμενος καθὰ καὶ κύων ἐν φυλακῇ νυκτερινῇ.

v. 3. ἄγκαθεν] A. κατὰ συγκοπὴν, ἀντὶ τοῦ ἀνέκαθεν· τοῦτ' ἔστιν, ἄνωθεν, ἐξ ἀρχῆς. κυνὸς δίκην] διὰ τὸ φυλακτικόν τε καὶ φιλοδέσποτον. Farn. ἄγκαθεν· ἐν ἀγκάλαις.

v. 6. δυνάστας] A. τοὺς δυναμένους παρὰ τὰ ἄλλα σημᾶναι τοὺς καιρούς.

v. 11. ἀνδρόβουλον] A. τὸ μείζονα ἢ κατὰ γυναῖκα βουλευόμενον, γενναῖον· ἢ, κατὰ ἀνδρὸς βουλευόμενον.

v. 14. φόβος γὰρ] A. ἢ περισσὸς ὁ γάρ, ἢ λείπει τὸ ἀλύων *).

---

*) De Pauw. mavult ἀλύω.